Ιθαμαρ υἱοῦ Ααρων τοῦ ἱερέως. 9καὶ τοῖς υἱοῖς Κααθ οὐκ ἔδωκεν, 9
ὅτι τὰ λειτουργήματα τοῦ ἁγίου ἔχουσιν· ἐπ᾽ ὤμων ἀροῦσιν.
10Καὶ προσήνεγκαν οἱ ἄρχοντες εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσια- 10
στηρίου ἐν τῇ ἡμέρᾳ, ᾗ ἔχρισεν αὐτό, καὶ προσήνεγκαν οἱ ἄρχον-
τες τὰ δῶρα αὐτῶν ἀπέναντι τοῦ θυσιαστηρίου. 11καὶ εἶπεν κύριος 11
πρὸς Μωυσῆν Ἄρχων εἷς καθ᾽ ἡμέραν ἄρχων καθ᾽ ἡμέραν προσοί-
σουσιν τὰ δῶρα αὐτῶν εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου.
12Καὶ ἦν ὁ προσφέρων τῇ ἡμέρᾳ τῇ πρώτῃ τὸ δῶρον αὐτοῦ 12
Ναασσων υἱὸς Αμιναδαβ ἄρχων τῆς φυλῆς Ιουδα. 13καὶ προσήνεγ- 13
κεν τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν
ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν
σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης
ἐν ἐλαίῳ, εἰς θυσίαν· 14θυίσκην μίαν δέκα χρυσῶν πλήρη θυμιά- 14
ματος· 15μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς 15
ὁλοκαύτωμα· 16καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 17καὶ εἰς 16
θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνά- 17
δας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ναασσων υἱοῦ Αμιναδαβ.
18Τῇ ἡμέρᾳ τῇ δευτέρᾳ προσήνεγκεν Ναθαναηλ υἱὸς Σωγαρ ἄρ- 18
χων τῆς φυλῆς Ισσαχαρ. 19καὶ προσήνεγκεν τὸ δῶρον αὐτοῦ τρυ- 19
βλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν
ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφό-
τερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ, εἰς θυσίαν· 20θυί- 20
σκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος· 21μόσχον ἕνα ἐκ βοῶν, 21
κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα· 22καὶ χίμαρον ἐξ 22
αἰγῶν ἕνα περὶ ἁμαρτίας· 23καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, 23
κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ
δῶρον Ναθαναηλ υἱοῦ Σωγαρ.
24Τῇ ἡμέρᾳ τῇ τρίτῃ ἄρχων τῶν υἱῶν Ζαβουλων Ελιαβ υἱὸς 24
Χαιλων. 25τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ 25
ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ
τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιη-
μένης ἐν ἐλαίῳ, εἰς θυσίαν· 26θυίσκην μίαν δέκα χρυσῶν πλήρη 26
θυμιάματος· 27μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύ- 27
σιον εἰς ὁλοκαύτωμα· 28καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· 28
29καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους 29
πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ελιαβ υἱοῦ Χαιλων.

8 υιου] pr. του A || 12 τη ημ.] pr. εν B† | τη ημ. τ. πρωτη / το δωρ. αυτου] tr. A† || 15 κριον] pr. και B*† hic, non in 21. 27 etc. | ενα ult. > B: item A in 33. 45. 51. 57. 63. 75, sed ceteris locis B et A hab. ενα || 17 κριους] pr. και B*S(uid.)† hic, non in 23. 29 etc. || 29 πεντε 1⁰ ⌒ 2⁰ B*: item in 41, non in 17. 23. 35. 47 etc.